*ἐνδηλότερον δὲ Σοφοκλῆς* (fr. 774) *τὸ αὐτὸ περὶ τῶν γερόντων·*

*ʽβραδεῖα μὲν γὰρ ἐν λόγοισι προσβολὴ*
*μόλις δι᾽ ὠτὸς ἔρχεται τρυπωμένου,*
*πόρρω δὲ λεύσσων, ἐγγύθεν δὲ πᾶς τυφλός.᾽*

*εἴπερ οὖν πρὸς τὴν ἐπίτασιν καὶ σφοδρότητα μᾶλλον ὑπακούει ⟨τὰ⟩ τῶν γερόντων αἰσθητήρια, πῶς ἐν τῷ ἀναγινώσκειν τὸν ἐγγύθεν ἀντιφωτισμὸν οὐ φέρουσιν,* E *ἀλλὰ προάγοντες ἀπωτέρω τὸ βιβλίον ἐκλύουσι τὴν λαμπρότητα τῷ ἀέρι καθάπερ οἶνον ὕδατι κατακεραννυμένην;*

2. *Ἦσαν μὲν οὖν οἱ πρὸς τοῦτο λέγοντες, ὡς ἀπάγουσι τῶν ὄψεων τὸ βιβλίον οὐ μαλακώτερον τὸ φῶς ποιοῦντες, ἀλλ᾽ οἷον ἐπιδραττόμενοι καὶ περιλαμβάνοντες αὐγὴν πλείονα καὶ πληροῦντες ἀέρος λαμπροῦ τὴν μεταξὺ τῶν ὀμμάτων καὶ τῶν γραμμάτων χώραν. ἕτεροι δὲ τοῖς συμβάλλουσι τὰς αὐγὰς μετεῖχον· ἐπεὶ γὰρ ἀποτείνεται τῶν ὀφθαλμῶν ἑκατέρου κῶνος, πρὸς τῷ ὄμματι τὴν κορυφὴν ἔχων, ἕδραν δὲ καὶ βάσιν ᾗ περιλαμβάνει τὸ ὁρώμενον, ἄχρι μέν τινος εἰκός ἐστιν ἰδίᾳ τῶν κώνων* F *ἑκάτερον φέρεσθαι· γενόμενοι δ᾽ ἀπωτέρω καὶ συμπεσόντες ἀλλήλοις ἓν τὸ φῶς ποιοῦσι· διὸ καὶ τῶν ὁρωμένων ἕκαστον ἓν οὐ δύο φαίνεται, καίπερ ἀμφοτέροις ἅμα τοῖς ὄμμασι καταφαινόμενον· αἰτία γὰρ ἡ τῶν*